11 **6.** Harpocr. s. v. *χιλιωθέντα·* *Λυκοῦργος ἐν τῷ Κατ' Ἀριστογείτονος, ἀντὶ τοῦ χιλίας ὀφλόντα* . . . cf. fr. IX. 4.

12 **7.** Harpocr. s. v. *ψευδεγγραφή·* *ὄνομα δίκης ἐστίν, ἣν εἰσίασιν οἱ γεγραμμένοι ὀφείλειν τῷ δημοσίῳ ὡς καταψευσαμένου αὐτῶν τοῦ ἐγγράψαντος ἐν τῇ σανίδι τῇ παρὰ τῇ θεῷ κειμένῃ {ὡς ἀδίκως ἐγγραφέντες ὀφείλειν τῷ δημοσίῳ}. Λυκοῦργος ἐν τῷ Κατ' Ἀριστογείτονος καὶ Ἰσαῖος ἐν τῷ Πρὸς Μέδοντα* (XXIX Thalh.) *μνημονεύουσι τοῦ ὀνόματος.*

## *III. ΚΑΤ' ΑΥΤΟΛΥΚΟΥ*

### TESTIMONIA

**1a.** Harpocr. s. v. *Αὐτόλυκος·* *Λυκούργου λόγος ἐστὶ κατ' Αὐτολύκου τοῦ Ἀρεοπαγίτου. οὗτος δὲ τοὺς οἰκείους ὑπεκτιθέμενος ἐν τοῖς Χαιρωνικοῖς ἑάλω, καὶ κατεψηφίσαντο αὐτοῦ οἱ δικασταί, ὡς ὁ αὐτὸς δηλοῖ ῥήτωρ ἐν τῷ Κατὰ Λεωκράτους* (p. 51, 14); cf. Bachm. anecd. 166, 22 (= Bk. anecd. 466, 3.) **1b.** [Plut.] vit. X orat. 843d *γραψάμενος* (sc. *ὁ Λυκοῦργος*) *δ' Αὐτόλυκον τὸν Ἀρεοπαγίτην καὶ Λυσικλέα τὸν στρατηγὸνκαὶ Δημάδην τὸν Δημέου καὶ Μενέσαιχμον ἄλλους τε πολλούς, πάντας εἷλεν.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404556388/102 UNIVERSITÄT LEIPZIG